ἀρρωστίας στομάχου θερμὸν μὲν οὐδὲν προσφέρουσιν
οἶνον δὲ διδόντες βοηθοῦσιν. ὡς δ᾽ αὔτως καὶ τὰς ῥύσεις
C καὶ ἐφιδρώσεις οἴνῳ καταπαύουσιν, ὡς οὐδὲν ἧττον ἀλλὰ
καὶ μᾶλλον τῆς χιόνος ἱστάντι καὶ κρατύνοντι τῷ ψύχειν
καὶ περιστέλλειν φερομένην τὴν ἕξιν. εἰ δὲ φύσιν καὶ
δύναμιν εἶχεν θερμαντικήν, ὅμοιον ἦν οἶμαι χιόνι πῦρ καὶ
καρδιωγμῷ προσφέρειν ἄκρατον. ἔπειτα τὸν μὲν ὕπνον
οἱ πλεῖστοι περιψύξει γίνεσθαι λέγουσιν καὶ ψυκτικὰ [καὶ]
τὰ πλεῖστα τῶν ὑπνωτικῶν φαρμάκων ἐστίν, ὡς ὁ μαν-
δραγόρας καὶ τὸ μηκώνιον· ἀλλὰ ταῦτα μὲν σφόδρα καὶ
βίᾳ πολλῇ συνωθεῖ καὶ πήγνυσιν, ὁ δ᾽ οἶνος ἠρέμα κατα-
ψύχων ἵστησι μεθ᾽ ἡδονῆς καὶ ἀναπαύει τὴν κίνησιν ἐν τῷ
D μᾶλλον καὶ ἧττον οὔσης πρὸς ἐκεῖνα τῆς διαφορᾶς. ἔτι
δὲ τὸ μὲν θερμὸν γόνιμον· εὔροιαν γὰρ ἡ ὑγρότης ἴσχει
καὶ τόνον τὸ πνεῦμα καὶ δύναμιν ὑπὸ τῆς θερμότητος
ἐξοργῶσαν· οἱ δὲ πίνοντες πολὺν ἄκρατον ἀμβλύτεροι
πρὸς τὰς συνουσίας εἰσὶν καὶ σπείρουσιν οὐθὲν εἰς γένεσιν
ἰσχυρὸν οὐδὲ κεκρατημένον, ἀλλ᾽ ἐξίτηλοι καὶ ἀτελεῖς
εἰσιν αἱ πρὸς τὰς γυναῖκας ὁμιλίαι αὐτῶν διὰ φαυλότητα
καὶ κατάψυξιν τοῦ σπέρματος. καὶ μὴν ὅσα πάσχου-
σιν ἄνθρωποι ὑπὸ κρύους, πάντα συμβαίνει τοῖς μεθυσκο-
μένοις, τρόμοι, βαρύτητες, ὠχριάσεις, σάλοι τοῦ περὶ τὰ
γυῖα πνεύματος, ἀσάφεια γλώττης, ἔντασις τῶν περὶ τοῖς
E ἄκροις νεύρων καὶ ἀπονάρκησις· τοῖς δὲ πλείστοις εἰς